UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

X. Synodus habita in palatio, quò ingressus Constantinus, cum Episcopis resedit.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

modum ministerii sui stadium erant ingressi. Quibus omnibus quotidie annonas copiosè præberi Imperator mandaverat.

### Caput X.

*Synodus habita in palatio, quò ingressus Constantinus cum Episcopis resedit.*

Ceterùm die Concilio constituta, qua cõtroversias dirimi oporteret, cùm singuli præsto essent ex quibus Synodus constabat; in ipsa media æde palatii, quæ reliquas omnes amplitudine B superare videbatur, plurimis sedilibus ad utrumque ædis latus ordine dispositis, omnes qui accersiti fuerant introgressi, suo quisque loco consedere. Postquam universa Synodus cum decenti modestia resedit, omnes primùm conticuere, Imperatoris processum exspectantes. Mox unus ex proximis Imperatoris, deinde alter ac tertius ingreditur. Præcedebant quoque alii, non ut moris est ex militum ac Protectorum numero, sed ex amicis ii soli qui fidem Christi profitebantur. Cumque signo dato quo Imperatoris introitus nuntiabatur, omnes assurrexissent, tandem ipse medius incedens C advenit, velut quidam cælestis Dei Angelus: purpureæ quidem vestis fulgore oculos omnium præstinguens, & flammeis quibusdam radiis collucens: adhæc auri & lapillorum eximio splendore exornatus. Et hujusmodi quidem corporis cultus erat. Quod verò ad animum spectat, satis apparebat eum timore Dei ac religione decoratum esse. Atque id indicabant oculi demissi, rubor in vultu, & motus corporis atque incessus. Sed & reliqua corporis species; proceritas scilicet quâ cunctos D qui circa ipsum erant longè superabat. Nec statura solùm sed etiam formæ decore, & totius corporis venusta quadam Majestate; invicto denique virium robore ceteros anteibat. Quæ quidem omnia admirabili modestia & Imperatoria lenitate temperata, eximiam & omni laude majorem mentis illius præstantiam declarabant. Postquam Imperator ad caput subselliorum venit, primùm medius stetit. Positáque ante eum humili sella ex auro fabrefacta, non prius assedit, quàm Episcopi ei innuissent. Idem omnes post Imperatorem fecere.

A τὸν τῆς λειτουργίας δρόμον· οἷς δὴ πᾶσι βασιλεὺς ἐφ᾽ ἑκάστης ἡμέρας τὰ σιτηρέσια δαψιλῶς χορηγεῖσθαι διετέτακτο.

### ΚΕΦΑΛΑΙΟΝ Ι.

*Σύνοδος ἐν παλατίῳ, οὗ ὁ Κωνσταντῖνος εἰσελθὼν συνεκαθίσθη.*

Ἐπεὶ δ᾽ ἡμέρας ὁρισθείσης τῇ συνόδῳ, καθ᾽ ἣν χρῆν λύσιν ἐπιθεῖναι τοῖς ἀμφισβητουμένοις, παρῆν ἕκαστος ταύτην ἀγῶν ἐν αὐτῷ B δὴ τῷ μεσαιτάτῳ οἴκῳ τῶν βασιλείων, ὃς καὶ ὑπερφέρειν ἐδόκει μεγέθει τοὺς πάντας, βάθρων τ᾽ ἐν τάξει πλειόνων ἐφ᾽ ἑκατέραις οἴκου πλευραῖς διατεθέντων, εἴσω παρῆσαν οἱ κεκλημένοι, καὶ τὴν προσήκουσαν ἕδραν οἱ πάντες ἀπελάμβανον. ἀλλ᾽ ὅτε δὴ σὺν κόσμῳ τῷ πρέποντι ἡ πᾶσα καθῆστο σύνοδος, σιγὴ μὲν τοὺς πάντας εἶχε, προσδοκίᾳ τῆς βασιλέως προόδου· εἰσῄει δέ τις πρῶτος, κἄπειτα δεύτερος καὶ τρίτος τῶν ἀμφὶ βασιλέα. ἡγοῦντο δὲ καὶ ἄλλοι, οὐ τῶν συνήθων ὁπλιτῶν τε καὶ δορυφόρων, μόνων δὲ τῶν πιστῶν φίλων. πάντων δ᾽ ἐξαναστάντων ἐπὶ συνθήματι, ὃ τὴν βασιλέως C εἴσοδον ἐδήλου, αὐτὸς δὴ λοιπὸν διέβαινε μέσος. οἷα Θεοῦ τις οὐράνιος ἄγγελος, λαμπρὰν μὲν ὥσπερ φωτὸς μαρμαρυγαῖς ἐξαστράπτων περιβολήν, ἀλουργίδος πυρωποῖς καταλαμπόμενος ἀκτῖσι, χρυσοῦ τε καὶ λίθων πολυτελῶν διαυγέσι φέγγεσι κοσμούμενος. ταῦτα μὲν οὖν ἀμφὶ τὸ σῶμα· τὴν δὲ ψυχήν, Θεοῦ φόβῳ καὶ εὐλαβείᾳ δῆλος ἦν κεκαλλωπισμένος· ὑπέφαινον δὲ καὶ ταῦτ᾽ ὀφθαλμοὶ κατανεύοντες. ἐρύθημα προσώπου. περιπάτου κίνημα, D τό, τ᾽ ἄλλο εἶδος. τὸ μέγεθός τε ὑπερβάλλων μὲν τοὺς ἀμφ᾽ αὐτὸν ἅπαντας, τῷ τε κάλλει τῆς ὥρας, καὶ τῷ μεγαλοπρεπεῖ τῆς τοῦ σώματος εὐπρεπείας, ἀλκῇ τε ῥώμης ἀμάχου. ἃ δὴ τρόπων ἐπιεικείᾳ, πρᾳότητί τε βασιλικῆς ἡμερότητος ἐγκεκραμένα, τὸ τῆς διανοίας ὑπερφυές, παντὸς κρεῖττον ἀπέφαινον λόγου. ὡς δὲ παρελθὼν ἐπὶ τὴν πρώτην τῶν ταγμάτων ἀρχὴν μέσος πρῶτος ἔστη. σμικροῦ τινος αὐτῷ καθίσματος ὕλης χρυσοῦ πεποιημένου προτεθέντος, οὐ πρότερον ἢ τοὺς Ἐπισκόπους ἐπινεῦσαι ἐκάθιζε. ταὐτὸ δ᾽ ἔπραττον πάντες μετὰ βασιλέα.

ΚΕΦΑ-